www.tezaurliturgic.ro

# ЄIC ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα.*

*Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.*

Ὡς ἄστρον παμφαές, καὶ λαμπρὸς ἑωσφόρος, ἀνέτειλας ἡμῖν, ἐκ νυκτὸς ἀγνωσίας, καὶ φέγγος ἀθλήσεως,τοῖς ἐν κόσμῳ ἀπήστραψας· ὅθεν ἔδραμες, πρὸς τὸ Τρισήλιον σέλας,τοῖς τιμῶσι σε, λύσιν πταισμάτων πυρσεύων, παμμάκαρ Θεόκλητε.

*Δόξα. Ὅμοιον.*

Ὡς ῥόδον εὐθαλές, καὶ ἡδύπνευστον κρίνον, ἀνθεῖς ἐξ ἀκανθῶν, τῇ Χριστοῦ Ἐκκλησίᾳ, καὶ πάντας κατηύφρανας, τῇ σεπτῇ ἀλλοιώσει σου· τῆς γὰρ γνώσεως, ὀσμὴν δεχθείς τῆς τοῦ Λόγου, ἐγεώργησας, ἀθλητικὴν εὐωδίαν, ἐμφρόνως Θεόκλητε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὡς θρόνος ὑψηλός, καὶ πυρφόρος καθέδρα, καὶ ἔμψυχος παστάς, καὶ παλάτιον μέγα, κατέχεις ἐν ἀγκάλαις σου, τὸν τὰ πάντα συνέχοντα· ὢ τὶς φθέγξεται, τὴν σὴν ὑπέρφατον δόξαν, Μητροπάρθενε, Εὐλογημένη Μαρία, παράδοξον ἄκουσμα;

www.tezaurliturgic.ro

Μετὰ τὴν β'. Στιχολογίαν, Κάθισμα.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγης ἀληθῶς, καὶ ἠλλοιώθης ταῖς φρεσί, τῶν φαρμάκων τὴν ἰσχύν, ἀμβλυνομένην θεωρῶν, ἐν τοῖς τοῦ Λόγου ἀνθηφοροῦσι τὴν δύναμιν· ἔνθεν πληρωθείς, ἐνθέου πίστεως, ἄνθραξ νοητός, ὤφθης Θεόκλητε, τῆς ἀθεΐας ἀναλίσκων τὴν ἄκανθαν, ὁμολογία τῆς γλώττης σου. Καὶ Νῦν ὡς Μάρτυς, μετὰ Μαρτύρων, ὑπὲρ ἡμῶν Χριστόν ἱκέτευε.

Δόξα. Ἦχος ὁ αὐτός. Ταχὺ προκατάλαβε.

Ὡς νέκταρ ἀμβρόσιον, ἐκ γλυκυρρόου πηγῆς, σαφῶς ἀναδέδεικται, τῇ εὐπειθεῖ σου ψυχῇ, ἡ γνῶσις ἡ ἔνθεος· σὺ γὰρ διὰ φαρμάκων, νουνεχῶς ἀντηλλάξω, μάννα ὡς ψυχοτρόφον, εὐσεβείας τὸ δῶρον· διὸ σὲ μακαρίζομεν, θεόφρων Θεόκλητε.

Καὶ νῦν. Θεοτοκίον.

Ἀδὰμ τὸν πρωτόπλαστον, δίχα φθορᾶς προσλαβών, ἐκ μήτρας σου πρόεισιν, ὁ βασιλεὺς τοῦ παντός, Θεός τε καὶ ἄνθρωπος· ὅθεν διὰ θανάτου, θανατώσας τὸν ὄφιν, ὤμβρισε τοῖς ἐν Ἅδῃ, τὴν παλίνζωον χάριν· διὸ σὲ ὡς αἰτίαν τῶν καλῶν, ὑμνοῦμεν Ἄχραντε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Μαγικὴν ἀγνωσίαν ἀποβαλών, εὐσεβῆ παρρησίαν ἀναλαβών, Μαρτύρων συνδίαιτος, παραδόξως γεγένησαι, καὶ μιμητὴς τοῦ πάθους, Χριστοῦ ἐχρημάτισας, ὥσπερ

www.tezaurliturgic.ro

ἀρνίον Μάρτυς, τμηθεὶς τὸν αὐχένα σου· ὅθεν ἀνεκλίθης, πρὸς μονὰς οὐρανίους, ἀΰλως θεούμενος, καὶ χαρᾶς ἀξιούμενος, ἀϊδίου Θεόκλητε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι,τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Δόξα, Καὶ νῦν. Θεοτοκίον.*

Μυστηρίων ἀρρήτων περιοχή, πρυτανεῖον χαρίτων θεουργικῶν, ὕλη παναρμόνιος, τῆς τοῦ Λόγου σαρκώσεως, φωτοειδὴς ἑστία, τοῦ πλούτου τῆς χάριτος, καὶ εἴτι καλόν ἄλλο, ἐδείχθης Πανύμνητε· σὺ γὰρ πρὸ αἰώνων, τῷ Θεῷ ὁρισθεῖσα, δοχεῖον ὑπέρλαμπρον, τῆς αὐτοῦ σωματώσεως, ἀληθῶς ἐχρηματίσας. Ἀλλὰ καὶ νῦν μὴ παύσῃ, Ἁγνή, τῶν πταισμάτων λύτρωσιν βραβεύουσα,τοῖς προσκυνοῦσιν ἐκ πόθου, τὴν δόξαν σου Ἄχραντε.

*Οἱ Ἀναβαθμοί, τὸ α′ ἀντίφωνον τοῦ δ′ ἤχου καὶ τὸ Προκείμενον.*

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Τοῦ Κυρίου δεηθῶμεν.

*Ὁ Χορός· Κύριε, ἐλέησον*

*Ὁ Ἱερεύς·*

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

www.tezaurliturgic.ro

*Ὁ Χορός·* Ἀμήν.

*Οἱ χοροὶ ψάλλουσιν ἐναλλάξ (ἐκ γ΄).*

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

*Ὁ Διάκονος ἢ ὁ Ἱερεύς, ἀπὸ τῆς Ὡραίας Πύλης, ἐκφωνεῖ·*

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

*Ὁ Χορός· Κύριε,* ἐλέησον *(ἐκ γ΄)*

*Ὁ Διάκονος·*

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

*Ὁ Ἱερεὺς ἐκ τῆς Ὡραίας Πύλης εὐλογῶν, πάντοτε, διὰ τῆς χειρός, λέγει·*

Εἰρήνη πᾶσι.

*Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.*

*Ὁ Ἱερεύς, ἐπανερχόμενος, ἐκφωνεῖ·*

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου, τὸ Ἀνάγνωσμα.

*Ὁ Διάκονος, πρὸς τὸν Λαόν· Πρόσχωμεν.*

*Ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.*

*(Ματθ. 10,32-36,1)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνή-

www.tezaurliturgic.ro

σομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

*Ὁ Ν' ψαλμός χῦμα. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...*

*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...*

*Εἶτα τὸ Ἰδιόμελον. Ἦχος πλ. β'.*

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ἀθλοφόρε Θεόκλητε, σὺ πρὸς δόξαν κληθεὶς ἀδιάρρευστον, προσφόρως τῇ κλήσει, τὸν τρόπον ἐπεδείξω· πᾶσι γὰρ χαίρειν εἰπών, ὡς ζωὴν τὸν θάνατον, διὰ Χριστόν ἡγήσω· ᾧ καὶ ἡμᾶς οἰκείωσαι, εὐπροσδέκτοις μεσιτείαις σου.

*Ὁ Ἱερεὺς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης ἱστάμενος, ἢ ὁ Διάκονος (ἐκ τῆς οἰκείας αὐτοῦ θέσεως) μεγαλοφώνως· (Ἐνταῦθα ὁ Ἱερεὺς δὲν εὐλογεῖ).*

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεβείαις τῆς παναχράντου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου, καὶ

www.tezaurliturgic.ro

βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων, πανευφήμων καὶ πρωτοκορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου, καὶ πάντων τῶν ἁγίων ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν, καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ Νεκταρίου Πενταπόλεως, τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρων Τήρωνος καὶ Στρατηλάτου καὶ Μηνᾶ τοῦ θαυματουργοῦ· τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων, ἐνδόξων, μεγάλων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν Ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἐν ἀσκήσει λαμψάντων· (τοῦ ἁγίου τοῦ Ναοῦ, ἐφ' ὅσον δὲν ἐμνημονεύθη ἐν τοῖς ἄνω) τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου ἐνδόξου καὶ καλλινίκου μάρτυρος Θεοκλήτου, οὗ καὶ τὴν ἱερὰν μνήμην ἐπιτελοῦμεν καὶ πάντων σου τῶν Ἁγίων, ἱκετεύομέν σε, μόνε, πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

*Οἱ Χοροί, ἐξ ὑπαμοιβῆς· Κύριε, ἐλέησον· δωδεκάκις (τετράκις, ἀνὰ τρίς).*

*Ὁ Ἱερεύς·*

Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

www.tezaurliturgic.ro

*Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ'. καὶ τοῦ Ἁγίου οἱ δύο εἰς η'.*

*Κανὼν τῆς Θεοτόκου.*

*Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ εἱρμός.*

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὢ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιμπλῶσαι μου τὴν ψυχήν· εἰρήνευσον Κορη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου πανάμωμε.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοι γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

*Κανὼν πρῶτος τοῦ Ἁγίου Μάρτυρος οὗ ἡ ἀκροστιχίς.*

«Θεοκλήτῳ ἔπαινος τῷ τρισολβίῳ. Γερασίμου».

*Ἦχος α'. Ὠδὴ α'. Σοῦ ἡ τροπαιοῦχος.*

Θείας ἐπιγνώσεως αὐγαῖς, καταυγασθεὶς ἐμφανῶς τὴν διάνοιαν, μαρτυρίου ἤστραψας, φωτοδοσίας ἀΰλου Θεόκλητε, δι' ὧν λάμπρυνόν με, ὅπως ἀξίως ὑμνήσω σε.

www.tezaurliturgic.ro

Ἔλαμψεν ἐν σοὶ θεουργικῶς, δικαιοσύνης ὁ ἄδυτος ἥλιος, οὗ τὴν φωτοφάνειαν, τῇ καθαρᾷ σου καρδίᾳ δεξάμενος, ζόφον ἀθεΐας, ὁλοσχερῶς ἀπετίναξας.

Ὄλισθον τεκταίνων δι' ἰοῦ,τοῖς τὴν γλυκύδωρον χάριν προχέουσιν, ἐξ ὀλίσθου ὤρθωσαι, θανατηφόρου θεόφρων Θεόκλητε, καὶ τῆς ἀληθείας, τὸν γλυκασμὸν ἐθησαύρισας.

Κλίμαξ σοι ἐδείχθη πρὸς Θεόν, τῶν ὀκταρίθμων Μαρτύρων ἡ ἄθλησις· δι' αὐτῶν γὰρ ἄφεσιν, καὶ οὐρανίου υἱότητος μέθεξιν, πρὸς Χριστοῦ ἐδέξω, ἀλλοιωθεὶς εὐπρεπέστατα.

*Θεοτοκίον.*

Λύτρωσιν Παρθένε παγγενῆ, ὁ ὑπὲρ φύσιν τεχθεὶς ἐκ λαγόνων σου, ἡμῖν ἐδωρήσατο, ἀνακαινίσας ἡμᾶς ὡς φιλάνθρωπος· ὅθεν ὡς αἰτίαν τῶν ἀγαθῶν σὲ γεραίρομεν.

*Κανὼν δεύτερος τοῦ Ἁγίου Μάρτυρος οὗ ἡ ἀκροστιχίς.*

«Ὁ κλητὸς Θεόκλητος μακαριζέσθω. Γερασίμου».

*Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.*

Ὁ πίστεως πλούτῳ δικαιωθείς, καὶ κλήσεως αἴγλη, θεωνύμου καταλαμφθείς, Θεόκλητε Μάρτυς τοῦ Σωτῆρος, τοῦ παρὰ σοὶ φωτισμοῦ καμὲ πλήρωσον.

Κενὴν τὴν ἐνέργειαν κατιδών, τῆς σῆς ἐπιστήμης, ἐνεργείας ζωοποιοῦ, ἐπλήσθης κενώσας τὴν ἀπάτην, τῷ Λυτρωτῇ καὶ Θεῷ προσαγόμενος.

www.tezaurliturgic.ro

Λαμπρύνας τὰ ὄμματα τῆς ψυχῆς, τῇ τοῦ Σταυρωθέντος, ἐν τοῖς Μάρτυσιν ἀστραπῇ, ἠτένισας ἔρωτι ἐνθέῳ, πρὸς τὸν καλέσαντα Λόγον σὲ πάνσοφε.

Ἠλλοίωσας τύραννον δυσσεβῆ, τῇ σῇ πρὸς τὸ κρεῖττον, παραδόξῳ μεταβολῇ, καὶ εὔφρανας τάξεις οὐρανίους, τῇ εὐκλεεῖ σου ἀθλήσει Θεόκλητε.

*Θεοτοκίον.*

Τὸ ὄρος τὸ ἅγιον τοῦ Θεοῦ, τὸ πεπυκασμένον, ταῖς τοῦ Πνεύματος δωρεαῖς, σκέπασον ἡμᾶς Θεογεννῆτορ, τῷ πυκασμῷ τῆς ἀρρήτου προνοίας σου.

*Καταβασία. Ἀνοίξω τὸ στόμα μου.*

*Τῆς Θεοτόκου.*

*Ὠδὴ γ'. Ὁ εἱρμός.*

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σὺ μὲ στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε, σὺ μὲ κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

www.tezaurliturgic.ro

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Χαλεπαῖς ἀρρωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σὲ γινώσκω, θησαυρὸν πανάμωμε τὸν ἀδαπάνητον.

*Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.*

Ἡ ἄφθονος μάκαρ δωρεά, ὡς νᾶμα ζωοδώρητον, ἀθλητικῆς ἐκ κρήνης πηγάζουσα, ἀνακαθάρασα σὲ ἡγίασε, καὶ ῥάδαμνον εὔοσμον, τῷ Χριστῷ σὲ ἔδειξε, γεωργοῦντα Μαρτύρων τὰς χάριτας.

Τὴν χλαῖναν Χριστοῦ τὴν θεαυγῆ, δι' ὕδατος καὶ Πνεύματος, λελογισμένως ἀμφιασάμενος, τῆς ἀρχεγόνου ἀρᾶς τὸ κάλυμμα, ἐκβοῶν ἀπέρριψας· Ἅγιος εἶ Κύριε, ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

Ὡς εἶδες ἐννοίᾳ καθαρᾷ, τὴν ἐν τοῖς θείοις Μάρτυσιν, ἀνθηφοροῦσαν τοῦ Λόγου ἔλλαμψιν, φωτὸς ἐπλήσθης καὶ θάρσος ἔλαβες, ἐκβοῶν Θεόκλητε· Ἅγιος εἶ Κύριε, ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

*Θεοτοκίον.*

Ἐτέχθη ἐκ μήτρας σου Ἁγνή, ὡς ἄνθρωπος παντέλειος, ὁ ἐν μορφῇ Θεότητος ἄληπτος, μεμορφωμένος δίχα συγχύσεως, καὶ τὴν ἀμορφίαν μου, μεταπλάττων Ἄχραντε, πρὸς τὸ πρώτιστον κάλλος δι' ἔλεος.

www.tezaurliturgic.ro

*Ἕτερος τοῦ Μάρτυρος.*

*Ὠδὴ γ'. Σὺ εἶ τὸ Στερέωμα.*

Ὅλην σου τὴν ἔφεσιν, πρὸς εὐσεβείας τὸ μόνιμον, μετατεθείς, μαγικῆς ἀπάτης, ἀπεβάλου τὸ ἄστατον.

Σύναθλος γενόμενος, τῇ Φωτεινῇ τῇ θεόφρονι, φωτοποιοῦ, ἐκ φωτὸς αὔλου, χορηγίας ἐτρύφησας.

Θαύμασι τῆς πίστεως, καταπλαγεὶς τὴν διάνοιαν, τῆς ἐν Χριστῷ, θείας κοινωνίας, παραδόξως μετέσχηκας.

*Θεοτοκίον.*

Ἔλαψεν ἐκ σπλάγχνων σου, τῷ καθ' ἡμᾶς ὁμοιώματι, τὸ τοῦ Πατρὸς ἀπαύγασμα, Κόρη, καὶ τὸν κόσμον ἐφώτισε.

*Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.*

*Ἦχος δ'. Κάθισμα. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὁ ζωγρηθεὶς πρὸς τὴν οὐράνιον γνῶσιν, δι' ἐνεργείας τῶν τῆς χάριτος ἔργων, δι' ὧν Μαρτύρων δῆμοι ἠνδραγάθησαν, ὤφθης ἀκατάπληκτος, τοῦ Σωτῆρος ὁπλίτης, πλήξας τὴν δυσσέβειαν, τῇ στερρᾷ σου ἀθλήσει. Καὶ Νῦν δυσώπει πάντοτε Χριστόν, ὑπὲρ ἡμῶν Ἀθλοφόρε Θεόκλητε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὁ ἀϊδίως τῷ Πατρὶ συνεδρεύων, ὡς ὁμοούσιος καὶ σύνθρονος Λόγος, καὶ τῷ συμφύτῳ Πνεύματι ὁμότιμος, θρόνον σὲ εἰργάσατο, ἐπὶ γῆς φωτοφόρον, σάρκα ἐξ αἱμάτων σου, προσλαβόμενος ἔννουν, Παρθενομῆτορ Ἄχραντε Ἁγνή, ὃν ἐκδυσώπει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro

*Τῆς Θεοτόκου.*

*Ὠδὴ δ΄. Ὁ εἱρμός.*

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ Μυστήριον· κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων θεονύμφευτε.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ἀπολαύοντες πάναγνε, τῶν σῶν δωρημάτων, εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σὲ πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

*Ὠδὴ δ΄. Ὄρος σὲ τῇ χάριτι.*

Πέπωκας γηθοσύνως, τὸ νέκταρ τὸ ἄχραντον, τὸ θεοβρύτως προϊόν, ἐξ οὐρανίων θησαυρῶν· καὶ νῦν τὸ ἀείζωον, μετὰ Χριστοῦ πόμα πίνεις Θεόκλητε, ὡς τῆς αὐτοῦ βασιλείας συμμέτοχος.

Ἅπασαν τὴν αἴσθησιν, ἐμφρόνως παρέδραμες, τεθεαμένος νουνεχῶς, ὡς ὑπὲρ αἴσθησιν σοφέ, ἀθλοῦντας τοὺς Μάρτυρας, καὶ ᾠκειώθης Χριστῷ διὰ πίστεως, ἔξω σαρκός τε καὶ κόσμου γενόμενος.

www.tezaurliturgic.ro

Ἴασιν αἰώνιον, ὡς θεῖον ἀντίδοτον, ἀντὶ φαρμάκων τῶν πικρῶν, ἐκ γλυκυκάρπου ἀληθῶς, πλουσίως δρεψάμενος, ἀθλητικῆς εὐκαρπίας Θεόκλητε, τὸν τοῦ Βελίαρ ἰόν ἀποβέβληκας.

*Θεοτοκίον.*

Νόμοι σε κηρύγματα, καὶ τύποι καὶ σύμβολα, προανεκήρυττον σαφῶς, Μητέρα ἔσεσθαι Θεοῦ· σὺ γὰρ ἀπεκύησας, τὸν συναννάρχως Πατρὶ συννοούμενον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

*Ἕτερος τοῦ μάρτυρος.*

*ᾨδὴ δ'. Εἰσακήκοα Κύριε.*

Οὐρανίου δυνάμεως, μυσταγωγηθεὶς τὴν θείαν εὐπρέπειαν, τῶν εἰδώλων τὴν εὐτέλειαν καὶ τὸ ἀσθενὲς σπουδαίως κατέλιπες.

Κλῆμα ὤφθη σοι εὔκαρπον, τῆς ζωαρχικῆς ἀμπέλου Θεόκλητε, Φωτεινὴ ἡ παμμακάριστος, ἐξ ἧς τῆς ζωῆς βότρυν ἐτρύγησας.

Λυτρωθεὶς θείῳ αἵματι, τῆς προγονικῆς κατάρας Θεόκλητε, τὸ σὸν αἷμα χαίρων κέχυκας, ὑπὲρ τοῦ τυθέντος ὥσπερ πρόβατον.

Ἠκολούθησας ἔνδοξε, ἴχνεσιν ἐνθέοις τοῦ σὲ φωτίσαντος, καὶ τὴν κλῆσιν ἀληθεύουσαν, ἔδειξας θεόφρων δι' ἀθλήσεως.

*Θεοτοκίον.*

Τὴν γαστέρα σου Ἄχραντε, περιηνθισμένην ἁγνείας κάλλεσιν, εὑρηκὼς ὁ Ὑπερούσιος, ἐξ αὐτῆς τῷ κόσμῳ ὤφθη ἄνθρωπος.

www.tezaurliturgic.ro

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Τῆς Θεοτόκου.

ᾨδὴ ε΄. Ὁ εἱρμός.

Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε.

Ἔμπλησον Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προαιώνιον.

Ἴασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

ᾨδὴ ε΄. Τοῦ μάρτυρος. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ὁλοκάρπωμα εὐῶδες καὶ θυσία εὐπρόσδεκτος, δι᾽ ἀθλήσεως ἐτύθης τῷ τυθέντι ὡς πρόβατον, καὶ σὲ ὡς ἀμνὸν πανευκλεῆ, σὺν τοῖς αὐτοῦ προβάτοις, θεουργικῶς ἀριθμήσαντι.

Σωτηρίας αἰωνίου εὐφροσύνως ἐτρύγησας, ἀπαρχὰς τὰς ψυχοτρόφους ξενοτρόπως Θεόκλητε, ἐκ τῶν ἐνεγκόντων εὐσεβῶς, τὰ στίγματα τοῦ Λόγου, ὡς μετουσίαν ἀκήρατον.

www.tezaurliturgic.ro

Τῷ πυρὶ τῆς εὐσεβείας πυρσωθεὶς τὴν διάνοιαν, κατενέπρησας ὡς ὕλην τὴν ἀπάτην τῷ τρόπῳ σου, καὶ τὰς μαγικὰς βίβλους σοφέ, τῷ ζήλῳ ἀναλώσας, βίβλῳ ζωῆς σαυτὸν ἔγραψας.

*Θεοτοκίον.*

Ὡραιώθης Θεοτόκε τοῖς ἀχράντοις σου κάλλεσι, τὸν ὡραῖον παρὰ πάντας τοὺς υἱοὺς βροτῶν τέξασα· ὅθεν καθωράϊσον κἀμοῦ, ἐπισκοπή σου θείᾳ, τὴν ψυχικὴν ἀμαυρότητα.

*Ἕτερος τοῦ μάρτυρος. Δεύτερος.*

*Ὠδὴ ε΄. Ἵνα τὶ μὲ ἀπώσω;*

Ὁλικῶς προσανέχων, ἐν τῇ ἀπρακτούσῃ ἰσχῢϊ Θεόκλητε, τῆς σῆς ἐπιστήμης, τὴν καλὴν ἠλλοιώθης ἀλλοίωσιν, καὶ τῆς κεκρυμμένης, καὶ ἐκφανθείσης σοι σοφίας, ἀληθῶς σκεῦος εὔχρηστον πέφηνας.

Συναθλήσας προθύμως, σὺν τοῖς ὀκταρίθμοις τοῦ Λόγου θεράπουσι, πρὸ αὐτῶν τῆς νίκης, τὸ λαμπρὸν ἐκομίσω διάδημα, οἷς καὶ ὑπαντήσας, πρὸς θείαν δόξαν ἀνιοῦσι, σὺν αὐτοῖς ἐπαγάλλῃ ἐν Πνεύματι.

Μετ᾽ ἐκπλήξεως βλέπων, τὴν ἀκαταμάχητον καὶ ἀκατάπληκτον, τοῦ Σωτῆρος πίστιν, διὰ πόνων ἰσχὺν πρυτανεύουσαν, ἔσπευσας τῶν ταύτης, κατατρυφῆσαι χαρισμάτων, φωτισθεὶς τῆς καρδίας τὰ ὄμματα.

*Θεοτοκίον.*

Ἀθανάτων ναμάτων, καὶ πλουσιοδώρων χαρίτων σε πέλαγος, ἐγνωκὼς Παρθένε, ἐξαιτοῦμαι ῥανίδα ὀμ-

www.tezaurliturgic.ro

βρῆσαί μοι, τῆς σῆς εὐσπλαγχνίας, τὰς φλογοτρόφους ἐπιθέσεις, τῶν παθῶν μου σβεννῦσαν Πανάμωμε.

*Καταβασία.* Ἐξέστη τὰ σύμπαντα.

*Τῆς Θεοτόκου.*

*Ὠδὴ στ΄. Ὁ εἱρμός.*

Τὴν δέησιν, ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ ᾅδῃ προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς· Ἐκ φθορᾶς ὁ Θεὸς μὲ ἀνάγαγε.

Θανάτου, καὶ τῆς φθορᾶς ὃς ἔσωσεν, ἑαυτὸν ἐκδεδεκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε, δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Προστάτιν σε, τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διὰ παντός· ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Ὡς τεῖχος, καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Ἐν κλίνῃ νῦν, ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ᾽ ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

*Ὠδὴ στ΄. Τοῦ Μάρτυρος.* Ἐκύκλωσεν ἡμᾶς.

Τὸν σάλον ἐκφυγὼν τῆς ἀθεότητος, μαρτυρικῶς διέπλευσας, τὴν θάλασσαν τοῦ βίου εὐπετῶς, καὶ πρὸς τοὺς λι-

www.tezaurliturgic.ro

μένας μάκαρ ὥρμησας, τῆς ὑπὲρ νοῦν, εἰρήνης καὶ καταπαύσεως.

Ρ͑ημάτων Φωτεινῆς τῆς Χριστομάρτυρος, κατανοῶν τὴν δύναμιν, τὸν λόγον τῆς ἐν πνεύματι ζωῆς, καὶ τῆς ἐν Χριστῷ ἀποκαλύψεως, εἰς ἑκατόν, καλλιεργήσας ἐξήνεγκας.

Ι͑έρευσας ψυχήν τε καὶ τὸ σῶμα σου, ἀθλήσεωςτοῖς ἄνθραξι, τῷ τὴν σὴν τελείαν προσφοράν, οἷάπερ θυμίαμα ἡδύπνευστον, καὶ λογικήν, ὀσμὴν δεχθέντι Θεόκλητε.

*Θεοτοκίον.*

Λυτῆρα τῆς ἀπάτης ἀποτέξασα, Χριστὸν τὸν ὑπεράγαθον, τῶν ἁμαρτιῶν μου τὰς σειράς, λῦσον Θεοτόκε τῇ πρεσβείᾳ σου, καὶ τῇ στοργῇ, τῇ τοῦ Υἱοῦ σου με σύνδησον.

*Ἕτερος τοῦ μάρτυρος.*

*ᾨδὴ στʹ. Ἱλάσθητι μοι Σωτήρ.*

Κρίνον καθάπερ τερπνόν, τῷ γεωργῷ τῆς ζωῆς ἡμῶν, ἐξ ἀκανθῶν προσαχθείς, παμμάκαρ Θεόκλητε, Μαρτύρων τὰ τάγματα, τῇ σῇ εὐωδίᾳ, θυμηδίας θείας ἔμπλησας.

Αἱμάτων σου οἱ κρουνοί, πολυθεΐας τὰ ῥεύματα, ἐξήραναν ἀληθῶς, Θεόκλητε ἔνδοξε, τοὺς πιστοὺς δὲ ἤρδευσαν, πρὸς καρποφορίαν, δωρεῶν τῶν ὑπὲρ ἔννοιαν.

Ρ͑ώμη σε θεῖον βλαστόν, ἡ ἐξ ἐθνῶν Ἐκκλησία δέ, διάδημα εὐκλεές, Θεόκλητε ἔχουσιν, ἡ δὲ ὑπερκόσμιος, Σιὼν σε πολίτην, ὡς υἱὸν φωτὸς ἐκτήσατο.

www.tezaurliturgic.ro

*Θεοτοκίον.*

Ἰώμενος τὴν φθοράν, τὴν ἐκ τοῦ ξύλου τῆς γνώσεως, τοῦ Πρωτοπλάστου Ἀδάμ, ἐκ σοῦ σεσωμάτωται, ὁ δι᾿ ἀγαθότητα, πλάσας με Παρθένε, καὶ φθαρέντα ἀναπλάσας με.

*Καταβασία. Τὴν θείαν ταύτην.*

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ὡς κλητὸς ἐκ πίστεως πρὸς θείαν δόξαν, Ἀθλητῶν ὁμότροπος, ὤφθης Θεόκλητε κλεινέ, ἀναβοῶν ἐν τῷ σκάμματι· Σὺ τῶν Μαρτύρων Χριστὲ τὸ στερέωμα.

*Ὁ Οἶκος·*

Τῆς ἀγνωσίας τὴν νύκτα ἐκφυγών, πρὸς θεογνωσίας ὤρθρισας τὸ φῶς, ἐν ᾧ τοῦ Τρισηλίου φωτός, τὰς ἐνεργείας ἐθεάσω ἐμφανῶς, ὡς αὐτόπτης Θεόκλητε τροπαίων ἀθλητικῶν· σὺ γὰρ δηλητηρίοις πόσεσι, τοὺς τὸν ἀληθῆ γλυκασμὸν στάζοντας, βλάψαι κατατολμῶν, τὴν προστριβεῖσάν σοι βλάβην, τοῦ ἐξ ἁμαρτίας ἰοῦ, ἀπεβάλλου ξενοπρεπῶς· εἶδες γὰρ ὄμμασι νοεροῖς, θριαμβεύουσαν τὴν ἐπαγγελίαν τοῦ Λόγου τῆς ζωῆς, φάσκοντος ἀψευδῶς,τοῖς ἑπομένοις αὐτῷ εἰλικρινῶς· Κἂν θανάσιμον τι πίητε, οὐ μὴ ὑμᾶς βλάψει. Αὐτῷ οὖν ἐν καινότητι πνεύματος, σὺν Ἀθλοφόροις ἐβόας γηθόμενος· Σὺ τῶν Μαρτύρων Χριστὲ τὸ στερέωμα.

*Συναξάριον.*

Τῇ κστ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ καλλινίκου Μάρτυρος Θεοκλήτου.

www.tezaurliturgic.ro

Στίχ. Κληθεὶς ὁ Θεόκλητος πρὸς θείαν γνῶσιν,
Τὸν καλέσαντα ὡς Ἀθλητὴς δοξάζει.
Εἰκάδι Θεοκλήτου ἠδ' ἕκτῃ τάμον αὐχένα ἐσθλόν.

Θεόκλητος. Ὁ φαρμακός. Μάρτυς, ἄγνωστος εἰς τοὺς ἐντύπους Συναξαριστὰς καὶ τὰ Μηνιαῖα, ἀπαντᾷ ἐν τῷ κώδικι Paris. gr. 1578, εἰς τὴν 26ην Φεβρουαρίου, ἄνευ ὑπομνήματος, διὸ καὶ ἀδυνατοῦμεν νὰ ἐξηγήσωμεν τὸ εἰς αὐτὸν ἀποδιδόμενον προσωνύμιον: «φαρμακός». Τὸν στέφανον τοῦ μαρτυρίου ἐδέξατο δι' ἀποτομῆς τῆς κεφαλῆς, συμφώνως πρὸς τὸ δίστιχόν του. Ὁ Εὐστρατιάδης (Ἁγιολόγιον, σ. 189), ὑπέθεσεν, ὅτι δυνατὸν ὁ Θεόκλητος οὗτος νὰ ταυτίζεται πρὸς τὸν μάγον Θεόκλητον, ὅστις ἔδωκεν «εἰς τὴν Ἁγίαν Φωτεινὴν τὸ δηλητήριον καὶ ὅστις πιστεύσας εἰς Χριστόν, ἀπετμήθη τὴν κεφαλήν».

(Θ.Η.Ε. 6ος τόμος)

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Πορφυρίου, Ἐπισκόπου Γάζης.

Στίχοι. Ὢ τὶς παρέλθῃ, τὶς δὲ καὶ παραδράμῃ
Τὸν Πορφύριον, κἂν παρῆλθεν ἐκ βίου;
Πορφυρίοιο νέκυν κρύψε χθὼν εἰκάδι ἕκτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Φωτεινῆς τῆς Σαμαρείτιδος, ᾗ ὡμίλησεν ὁ Χριστὸς ἐν τῷ φρέατι, καὶ τῶν σὺν αὐτῇ.

Στίχοι. Ῥίπτουσι τὴν σὴν Σαμαρεῖτιν εἰς φρέαρ,
Τὴν εἰς φρέαρ σοι συλλαλήσασαν, Λόγε.

Διὸ καὶ ἐκμανείς, μετὰ τὸ ἀποτεμεῖν τοὺς μαστοὺς αὐτῆς, ἐκδυθῆναι δὲ καὶ τὸ δέρμα τῆς σαρκὸς αὐτῆς, ἑτέραν ἐπινοεῖ κατ' αὐτῆς τιμωρίαν, πάνδεινον καὶ ὀλεθρίαν. Δύο γὰρ δένδρα, ἔνδον τοῦ παραδείσου αὐτοῦ, βία

www.tezaurliturgic.ro

κελεύσας λυθῆναι, καὶ τούτοις τὴν μακαρίαν προσδῆσαι, καὶ τούτων ἀθρόως ἀπολυθέντων, διαμερισθῆναι τὴν Ἁγίαν, καὶ τὴν ψυχὴν τῷ Θεῷ παραθῆναι. Τότε πάντας τῷ ξίφει τελειώσας ὁ δύστηνος, τὴν μακαρίαν Φωτεινήν, ἀπὸ τοῦ φρέατος ἐκβαλών, τῇ φρουρᾷ ἐναπέθετο. Αὕτη δέ, ὡς μόνη ἀπολειφθεῖσα, καὶ μὴ στεφανωθεῖσα σὺν τοῖς λοιποῖς, ἐδέετο τοῦ Θεοῦ. Ὃς καὶ ἐμφανισθεὶς αὐτῇ καὶ τρίτον σφραγίσας, ὑγιῆ ἀπειργάσατο. Καὶ μεθ' ἡμέρας πολλάς, ὑμνοῦσα καὶ εὐλογοῦσα τὸν Θεόν, εἰς χεῖρας αὐτοῦ ἀφίησι τὴν τιμίαν αὐτῆς ψυχήν.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Φωτώ, ἡ ἀδελφὴ αὐτῆς, ξίφει τελειοῦται.

Στίχοι. Φερνὴν ταλάντων μυρίων ἀνταξίαν,
Φωτὼ φέρει σοι τὴν κάραν φώτων, Πάτερ.

Τῇ αὐτῇ ἡμέρα, ἡ Ἁγία Φωτίς, ἡ ἑτέρα ἀδελφὴ αὐτῆς, εἰς δύο προσδεθεῖσα δένδρα, καὶ διαμερισθεῖσα, τελειοῦται.

Στίχοι. Δώσεις ἔπαθλον δενδροάθλῳ Φωτίδι,
Δενδρῶνα τερπνὸν τῆς Ἐδὲμ Θεοῦ Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Παρασκευή, ἡ ἑτέρα ἀδελφὴ αὐτῆς, ξίφει τελειοῦται.

Στίχοι. Ἡ Παρασκευὴ πρὸς ξίφος τὸν αὐχένα,
Ἕτοιμον εἶχε καὶ παρεσκευασμένον.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Κυριακή, ἡ ἑτέρα ἀδελφὴ αὐτῆς, ξίφει τελειοῦται.

Στίχοι. Ἐκ Κυριακῆς οὐδὲ τοῦ ξίφους φόβος,
Τοῦ Κυρίου τὸν θεῖον ἐκβάλλει φόβον.

www.tezaurliturgic.ro

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Μάρτυς Ἰωσῆς, ὁ υἱὸς τῆς Ἁγίας Φωτεινῆς, ξίφει τελειοῦται.

Στίχοι. Τομεὺς τραχήλων ἐξεγύμνου τὸ ξίφος·
Ἰωσῆ δὲ τράχηλος οὐ φρίττει ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Φωτεινός, ὁ ἕτερος υἱὸς αὐτῆς, ξίφει τελειοῦται.

Στίχοι. Τὶς οὗτος ἀτμὸς ἐκ ζεόντων αἱμάτων;
Φωτεινὸς ἄρτι Μάρτυς ἐτμήθη κάραν.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ἅγιος Σεβαστιανὸς ὁ Δοὺξ ξίφει τελειοῦται.

Στίχοι. Σεβαστιανῷ τοῦτον εἴπω τὸν λόγον·
Σεβάζομαί σε, τὴν κάραν τετμημένον.

Ὁ Ἅγιος Νεομάρτυς Ἰωάννης ὁ Κάλφας, ὁ ἐν Κωνσταντινουπόλει μαρτυρήσας ἐν ἔτει ͵αφοε΄ (1575), ξίφει τελειοῦται.

Στίχοι. Πληγὰς ἀριθμεῖν μή, Ἰωάννη, θέλε,
Σκηνὰς δὲ μᾶλλον, ἃς ἔχει ἔνδον πόλος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Τῆς Θεοτόκου.*

*Ὠδὴ ζ΄. Ὁ εἱρμός.*

Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες ἐν Βαβυλῶνι ποτέ, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

www.tezaurliturgic.ro

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας, Μῆτερ ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας,τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

Ὠδὴ ζ'. *Σὲ νοητήν, Θεοτόκε κάμινον.*

*Τοῦ μάρτυρος.*

Στόμα Θεοῦ, Φωτεινὴ ἡ πάνσεμνος, γεγενημένη ἀληθῶς, ὤφθη σοι σοφὸς μυσταγωγός, τῆς ἐκκαλυφθείσης σοι, χάριτος ἐν Πνεύματι, ἀναβοῶντι Θεόκλητε· ὁ αἰνετός τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Οὐρανωθείς, τὴν ψυχὴν Θεόκλητε, τῇ κοινωνίᾳ τοῦ Χριστοῦ, τὴν τῶν ἐπιγείων μετοχήν, οἷα διαπίπτουσαν, γνώμῃ μεγαλόφρονι, ὑπεριδὼν ἀνεκραύγαζες· ὁ αἰνετός τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

www.tezaurliturgic.ro

Λύτρον φθορᾶς, τὸ αἷμα σοι γέγονε, τῶν ὀκταρίθμων Ἀθλητῶν· δι᾽ αὐτῶν γὰρ κάθαρσιν εὑρών, τὴν ἐξ ἀθεότητος, ἐθεώθης ἄριστα, ἀνακραυγάζων, Θεόκλητε· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Βίβλῳ ζωῆς, πολιτογραφούμενος, ὡς τῆς Τριάδος ἐραστής, ἔρωτι καὶ ζήλῳ ἱερῷ, τῷ πυρὶ παρέδωκας, τὰς δέλτους Θεόκλητε, τῆς μαγικῆς ἐπιγνώσεως, τὴν ὑπερκόσμιον γνῶσιν, σαυτῷ περιποιούμενος.

*Θεοτοκίον.*

Ἱερουργεῖ, τὴν ἡμῶν ἀνάπλασιν, ὁ Ὑπερούσιος Θεός, ἐκ σοῦ καθ᾽ ἡμᾶς ὁμοιωθείς, Ἄχραντε Πανάμωμε, καὶ παθὼν ὡς ἄνθρωπος, ἀθανασίαν δεδώρηται,τοῖς καταγγέλουσι τοῦτον, ὡς μόνον ὑπερένδοξον.

*ᾨδὴ ζ΄. Ἕτερος τοῦ μάρτυρος. Παῖδες Ἑβραίων.*

Ζῶντι Θεῷ θερμῶς πιστεύσας, ἀπετίναξας τὴν νέκρωσιν τῆς πλάνης, καὶ πρὸς θείαν ζωήν, ἀνέδραμες βραβεύων, ζωοποιὸν ἐνέργειαν,τοῖς δολίως νεκρωθεῖσι.

Ἔλιπες πᾶσαν εὐδοξίαν, ὡς ἑώρακας τὴν δόξαν τοῦ Σωτῆρος, χορηγοῦσαν ἰσχύν, τοῖς ψάλλουσι προθύμως· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Σκεῦος αὔλου ἐπιπνοίας, καὶ ἀνάθημα ναοῦ ὑπερκοσμίου, ἐκ φθορᾶς πρὸς ζωήν, μετατεθεὶς ἐδείχθης, ἀναβοῶν Θεόκλητε· ὁ Θεὸς εὐλογητὸς εἶ.

Θάμβους ἐπλήσθης ἐννοήσας, τὴν ἀήττητον τοῦ Λόγου δυναστείαν, καὶ τὴν ἧτταν τὴν σήν, ὡς νίκην ὑπεδέξω, κατὰ τοῦ πολεμήτορος, προμηθείᾳ ἀπορρήτῳ.

www.tezaurliturgic.ro

*Θεοτοκίον.*

Ὥριμον βότρυν ἀνηρότως, ἐκβλαστήσασα τὸν τρέφοντα τὰ πάντα, τῶν παθῶν μου Ἁγνή, ἀνάστειλον τὴν μέθην, καὶ σῶσον με κραυγάζοντα· χαῖρε Κεχαριτωμένη.

Καταβασία. *Οὐκ ἐλάτρευσαν.*

*Τῆς Θεοτόκου.*

*ᾨδὴ η'. Ὁ εἱρμός.*

Τὸν Βασιλέα τῶν οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τοὺς βοηθείας, τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντας σε, Κόρη εἰς αἰῶνας.

Τῶν ἰαμάτων, τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσι σε Παρθένε, καὶ ὑπερυψοῦσι, τὸν ἄφραστον σου τόκον.

Τὰς ἀσθενείας μου, τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σε δοξάζω, τὴν κεχαριτωμένην.

Τῶν πειρασμῶν, σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*Τοῦ μάρτυρος.*

*ᾨδὴ η'. Ἐν καμίνῳ Παῖδες.*

Ὢ τῆς πρὸς τὸ κρεῖττόν σου τροπῆς, καὶ τῆς ἐπεσκεμμένης, μεταβολῆς θεόφρων! δι' ἧς σύμμορφος Χρι-

www.tezaurliturgic.ro

στῷ, κραυγάζων γεγένησαι· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Γνώσεως τῷ ξύλῳ προσελθών, θανάτου ἐλυτρώθης· ζωῆς γὰρ τῆς ἀνωλέθρου, ἀπεδρέψω τὸν καρπόν, κραυγάζων Θεόκλητε· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ῥάβδον τῆς ἐνθέου ἀρωγῆς, κατέχων ταῖς χερσί σου, ἐβάδισας ἀκωλύτως, μαρτυρίου τὴν ὁδόν, καὶ ψάλλων ἐκραύγαζες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ἄχραντος ὁ τόκος σου Ἁγνή· Θεὸς γὰρ ὁ ἐπὶ πάντων, παράδοξα μεγαλεῖα, κατειργᾶτο ἐν σοί, σώζων τοὺς βοῶντας σοι· Εὐλογοῦμεν Εὐλογημένη Παρθένε, τὴν ἄρρητον δόξαν σου, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*Ἕτερος τοῦ μάρτυρος.*

*Ὠδὴ η'. Οἱ θεοῤῥήμονες Παῖδες.*

Γεωργηθεὶς τῶν Μαρτύρων ταῖς ἀριστείαις, ἀθλητικὸν ἀνεδείχθης, πανευπρεπὲς καλλιέργημα, εὐλογεῖτε κραυγάζων, τὰ ἔργα τὸν Κύριον.

Ἐνδεδυμένος πορφύραν ἀθανασίας, ἐν τῇ τιμῇ ἀνεκλίθης, τοῦ οὐρανίου Παντάνακτος, βασιλέως γηΐνου, λιπὼν τὴν εὐπάθειαν.

Ῥωμαλεότητι πίστεως διαλάμπων, τὸν διὰ ξίφους ὑπέστης, θεομακάριστε θάνατον, πρὸς ἀθανάτους νυμφῶνας, λαμπρῶς σὲ πορθμεύοντα.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἀκαταφλέκτως ἐδέξω ἐν τῇ νηδύϊ, τὸν καταφλέξαντα Κόρη, τὴν ἁμαρτίαν Θεότητι, οὗ τῆς θείας ἀγάπης, τὸ πῦρ κἀμοὶ ἄναψον.

Καταβασία. Παῖδας εὐαγεῖς.

Τῆς Θεοτόκου.

Ὠδὴ θ΄. Ὁ εἱρμός.

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε ἁγνή, σὺν Ἀσωμάτων χορείαις σὲ μεγαλύνοντες.

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε Χριστὸν κυήσασα.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλοντας.

Τοῦ μάρτυρος.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνείας λοχείας σου.

Σθένει θεϊκῷ ῥωννύμενος, τὸν διὰ ξίφους θάνατον οὐκ ἐπτόησαι, δι᾽ οὗ πρὸς ζωήν, ὡς ἀληθῶς τὴν ἀθάνατον,

www.tezaurliturgic.ro

ὡς γενναῖος ὁπλίτης ἀνέδραμες, ἀθανασίας στέφος, θεαρχικῶς ἀποληψόμενος.

Ἴδες χωρισθεὶς τοῦ σώματος, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ ἐκδιηγήσασθαι, πρὸς ἃ ἐν σπουδῇ, ἐπειγόμενος ἔσπευσας, διὰ πάθους πηγὴν εἰσποιήσασθαι, τῆς θείας ἀπαθείας, Μάρτυς Θεόκλητε πανεύφημε.

Μάγων παριδὼν τὸ φρύαγμα, καὶ τὰς ἐρεσχελίας καὶ τὰ βουλεύματα, τῶν Ἀθλητῶν, τὰς ἀριστείας ἐζήλωσας, τὸν Σταυρὸν τοῦ Σωτῆρος ἀράμενος· διὸ τῆς τούτου θέας, καὶ ἐποψίας κατηξίωσαι.

Ὅρμον γαληνὸν κατέλαβες, διαδραμὼν ἀβρόχως βίου τὰ κύματα, καὶ τῷ βυθῷ, τῷ τῶν αἱμάτων σου ἔπνιξας, πανστρατεῖ Φαραὼ τὸν ἀλάστορα, οὗ νῦν κἀμὲ τῆς ῥύμης, τὸν σὲ ὑμνοῦντα ἀπολύτρωσαι.

*Θεοτοκίον.*

Ὕψους τῆς οἰκείας φύσεως, μὴ ἀποστὰς Θεοτόκε ὁ μόνος Ὕψιστος, ἐν τῇ γαστρί, τῇ καθαρᾷ σου ἐσκήνωσε, καὶ ὀφρὺν δυναστῶν ἐταπείνωσε, καὶ ταπεινῶν τὴν φύσιν, πρὸς τὸ ἀρχαῖον κάλλος ὕψωσε.

*Ἕτερος τοῦ μάρτυρος.*

*ᾨδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοή.*

Σύνεσιν ἔχων ἀληθῆ, ἀσυνέτων τὴν καθέδραν ἐμίσησας, καὶ πίστει ἔγνωκας, τοῦ οὐρανίου Πατρὸς τὸ θέλημα· τῆς εὐδοκίας γὰρ αὐτοῦ, τὸ τέλος μεμύησαι, καὶ τὴν τελείωσιν, δι' ἀθλήσεως τὴν θείαν ἐπλούτησας.

www.tezaurliturgic.ro

Ἱερουργήθης μυστικῶς, ὡς ἀμνὸς σφαγιασθεὶς ἐθελούσιος, τῷ ἐπὶ ξύλου Σταυροῦ, σφαγιασθέντι εἰς κόσμου λύτρωσιν· ὅθεν τῆς δόξης τῆς αὐτοῦ, ἐν σοὶ τὸ ὁμοίωμα, καὶ τὴν εὐπρέπειαν, ἐζωγράφησας αὔλως Θεόκλητε.

Μαρτυρικοῦ συνασπισμοῦ, ὀκταρίθμου συνελεύσεως θήραμα, Μάρτυς γενόμενος, ἐκ τοῦ πληρώματος τούτων ἔλαβες, δι' οὗ ἀθλήσας εὐσθενῶς, τὸν δρόμον πεπλήρωκας, καὶ πλήρης χάριτος, πρὸς Χριστὸν τὸν ἀθλοθέτην ἐχώρησας.

Ὁλολαμπὴς ταῖς ἀστραπαῖς, τῆς τριτῆς καὶ ἑνιαίας Θεότητος, ἀποδεικνύμενος, ὡς Ἀθλοφόρος Χριστοῦ περίδοξος, καταύγασόν μου τὴν ψυχὴν ἀφέσεως χάριτι, καὶ τὴν παροῦσάν μου, ὑμνῳδίαν εὐμενῶς Μάρτυς πρόσδεξαι.

*Θεοτοκίον.*

Ὑπερφερὴς ὡς ἀληθῶς, ἡ τῆς σῆς μεγαλειότητος ἔλλαμψις, Θεοχαρίτωτε, πᾶσαν διάνοιαν καταπλήττουσα· ἀλλὰ κἀμὲ τοῦ σοῦ φωτός, θεάμονα ἔργασαι, καὶ νοητὸν θεωρόν, τῶν παθῶν μου τὴν ὁμίχλην σκεδάζουσα.

*Καταβασία.* *Ἅπας γηγενής.*

*Ἐξαποστειλάριον.* *Γυναῖκες ἀκουτίσθητε.*

Υἱὸς θεοειδέστατος, καὶ κληρονόμος ἄξιος, τῆς οὐρανῶν βασιλείας, ὁ πρὶν ὀργῆς τέκνον πέλων, δι' ἐπιπνοίας κρείττονος, Θεόκλητε γενόμενος, τῆς υἱϊκῆς φαιδρότητος, σὺν Ἀθληταῖς ἠξιώθης, ὑπὲρ ἡμῶν ἱκετεύων.

*Θεοτοκίον.*

Υἱὸν τὸν ὁμοούσιον, Θεοῦ κυοφορήσασα, τῇ Πατρικῇ εὐδοκίᾳ, καὶ Πνεύματος συνεργίᾳ, υἱὸν φωτὸς ἀνάδειξον, κἀμὲ Φωτογεννήτρια, τὸν ἐπὶ σοὶ προστρέχοντα, καὶ ἐκζητοῦντα Παρθένε, τὴν ἰσχυράν σου πρεσβείαν.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια.*

*Ἦχος β′. Ὅτε ἐκ τοῦ ξύλου.*

Στίχος: Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις Αὐτοῦ· αἰνεῖτε Αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως Αὐτοῦ.

Αἴγλῃ εὐσεβείας λαμπρυνθείς, ἔλιπες τοῦ σκότους τὰ ἔργα, Μάρτυς Θεόκλητε, καὶ κατηκολούθησας,τοῖς ἀμαρύγμασι, τοῦ ἐν σοὶ διαυγάσαντος, τῆς θεογνωσίας, ὥσπερ ἀποκάλυψιν, θείαν τὴν ἔλλαμψιν· ὅθεν τὴν θεόπνευστον χάριν, αἵματι φαιδρύνας οἰκείῳ, μαρτυρίου στέφανον ἀπείληφας.

Στίχος: Αἰνεῖτε Αὐτὸν ἐπὶ ταῖς δυναστείαις Αὐτοῦ· αἰνεῖτε Αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης Αὐτοῦ.

Ὤφθης τῶν Μαρτύρων κοινωνός, καὶ περιφανὴς θιασώτης, καὶ εἰκὼν ἔνθεος· εἰς ὀσμὴν γὰρ ἔδραμες, τῆς ἐνοικούσης αὐτοῖς, οὐρανίου δυνάμεως, πλάνης τὸ δυσῶδες καὶ μάγων τὸ ἄθεον, ἀπαρνησάμενος· σὺ γὰρ δι' ἀπότων φαρμάκων, τῆς ζωοποιοῦ μετουσίας, μάκαρ ἐμνηστεύσω τὴν γλυκύτητα.

Στίχος: Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Ξίφει τὸν αὐχένα ἐκτμηθείς, τοῦ ἀνθρωποκτόνου Βελίαρ, τὴν κάραν ἔτεμες, καὶ πρὸς τὴν ἀθάνατον, ζωὴν ἀνέδραμες, θανατώσας Θεόκλητε, τῇ σῇ ἀλλοιώσει καὶ τῇ εὐτολμίᾳ σου, κριτὴν τὸν ἄδικον· ὅθεν τοῦ δικαίου Δεσπότου, τὴν δικαιοσύνην δοξάζεις, ὡς δι' ἀγαθότητα σοι νεύσαντος.

www.tezaurliturgic.ro

Στίχος: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Δόξης τῆς ἀρρήτου ἐμφανῶς, τὴν μεγαλοπρέπειαν Μάρτυς, καὶ τὴν τερπνότητα, πρόσωπον πρὸς πρόσωπον, ὁρῶν Θεόκλητε, καὶ μεθέξει θεούμενος, καὶ τὰς ἀντιδόσεις, χαίρων κομιζόμενος, τῆς σῆς ἀθλήσεως, ῥῦσαι συμφορῶν καὶ κινδύνων, καὶ πολυειδῶν συμπτωμάτων, τοὺς πανηγυρίζοντας τὴν μνήμην σου.

*Δόξα. Ἦχος πλ.α΄.*

Μακάριος εἶ, Ἀθλοφόρε Θεόκλητε, ὅτι τῆς θείας μακαριότητος, ἐταμιεύσω τὸν πλοῦτον· εἰ γὰρ ἐν μοίρᾳ λοιμῶν ἐγένου, ἀλλ᾽ οὐ κατεσχέθης ἐν αὐτῇ· τῆς γάρ μερίδος τοῦ Λόγου, ἐπελάβου τῶν ἰχνῶν, δι᾽ Ἀθλοφόρων Ἁγίων· μεθ᾽ ὧν ἀπαύστως πρέσβευε, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Σὲ τὸ χρυσοῦν θυμιατήριον, καὶ τὴν κιβωτὸν τοῦ ἁγιάσματος, τὴν τὸν ἀληθῆ ἁγιασμὸν βλυστάνουσαν, δυσωποῦμεν Παρθένε, ἁγιᾶσαι τὰς ψυχὰς ἡμῶν.

## ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ ΚΑΙ ΑΠΟΛΥΣΙΣ.

*Δίδοται καὶ ἅγιον Ἔλαιον τοῖς ἀδελφοῖς, ἐκ τῆς κανδήλας τοῦ Ἁγίου, ψαλλομένων τῶν Ἰδιομέλων.*

*Ἦχος πλ. β΄.*

Ἀθλοφόρε Θεόκλητε, σὺ πρὸς δόξαν κληθεὶς ἀδιάρρευστον, προσφόρων τῇ κλήσει, τὸν τρόπον ἐπεδείξω· πᾶσι γὰρ χαίρειν εἰπών, ὡς ζωὴν τὸν θάνατον, διὰ Χριστὸν ἡγήσω· ᾧ καὶ ἡμᾶς οἰκείωσαι, εὐπροσδέκτοις μεσιτείαις σου.

www.tezaurliturgic.ro

Ἦχος πλ. δ'.

Εἰς αἶνον ἔδραμες τοῦ Κυρίου Θεόκλητε, ἐν τῇ προσκαίρῳ ζωῇ, καὶ αὐτὸν σε ἐδόξασεν, ἐν τῇ ἐπουρανίῳ, καὶ ὄντως ζωή. Διὸ παρρησίαν κεκτημένος πρὸς αὐτόν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ'.

Ὡς θαυμαστή σου ἡ πρόνοια Σῶτερ! ὡς πλουσιόδωρος τῆς οἰκονομίας σου ἡ χάρις! Σὺ γὰρ τοῖς ἐπὶ γῆς συναναστραφείς, τὰ διεστῶτα ἥνωσας, εἰρήνην τοῖς πᾶσιν εὐαγγελισάμενος· ἔνθεν τὸ κράτος τῆς πίστεώς σου, τοὺς πρώην μὲν διώκτας, οἰκείους σοι θεράποντας ἀνέδειξε, καὶ τοὺς ἀσθενεῖς τῇ φύσει, ἀρραγεῖς ἐν ἄθλοις εἰργάσατο. Ἀλλ' ὡς ἐκ πάντων, μίαν ἀποτελέσας Ἐκκλησίαν, δώρησαι ἡμῖν, Θεοκλήτου λιταῖς τοῦ σοῦ Μάρτυρος, εἰρήνην καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ.α'.

Ἡ φερώνυμος κλῆσις σου, τὸ τελεσθὲν ἐν σοὶ μυστήριον, ἀριδήλως ἐμφαίνει· σὺ γὰρ πρὸς γνῶσιν ἔνθεον, δι' ἀθλητικῶν θαυμάτων, ἐκλήθης Θεόκλητε. Χριστὸς γάρ ἐν σοὶ διακύψας, τῆς οἰκείας ἀγαθότητος, ἐξεκάλυψε τὸ ἔλεος· ὅθεν ἐβόας χαίρων: Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος, ὁ δωρούμενος πᾶσι, ζωὴν τὴν αἰώνιον.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί. Ἐν αὐτοῖς ἱστῶμεν στίχους η′ καὶ ψάλλομεν δ′ ἐκ τῆς γ′ ᾠδῆς τοῦ α′ κανόνος τοῦ ἁγίου καὶ δ′ ἐκ τῆς στ′ ᾠδῆς τοῦ β′ κανόνος. Εἰ δ' ἔστι Μεγάλη Τεσσαρακοστή, τότε ποιοῦμεν κατὰ τὸ τυπικὸν τῆς ἑορτῆς τοῦ Ἁγίου Χαραλάμπους.

*Προκείμενον Ἀποστόλου. Ἦχος βαρύς. (Ψαλμὸς ριε′).*

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

*Πρὸς Τιμόθεον Α′ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (Κεφ. 1, 12-17).*

Τέκνον Τιμόθεε, χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ. Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

www.tezaurliturgic.ro

*Ἀλληλούϊα (γ'). Ἦχος δ'. (Ψαλμὸς α').*

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

*Εὐαγγέλιον.*

*Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα (Ἰω. 12, 24-26, 35-36)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Ἐὰν ἐμοὶ διακονῇ τις, ἐμοὶ ἀκολουθείτω, καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ Πατήρ. Εἶπεν οὖν τοῖς ὄχλοις ὁ Ἰησοῦς· ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑπάγει. Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε.

*Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.*

*Μεγαλυνάριον.*

Κλήσεως ἐνθέου ἀξιωθείς, μαγικὴν ἀπάτην, ἀπεβάλου ἀπὸ ψυχῆς καὶ ὑπὲρ τοῦ Λόγου νομίμως ἐναθλήσας, Θεόκλητε Μαρτύρων ἐδείχθης σύσκηνος.

www.tezaurliturgic.ro

### Ἕτερον Μεγαλυνάριον.

Χαίροις ὁ ἐν Μάρτυσιν εὐκλεής, ὧν ἀλείπτως ὤφθης, πρὸς ἀγῶνας ἀθλητικούς, μεθ' ὧν ἐκδυσώπει, δοθῆναι ἡμῖν πᾶσι, συγχώρησιν πταισμάτων, Θεόκλητε σοφέ.

### Δίστιχον.

Πρὸς θείαν Θεόκλητε κάλεσον κλῆσιν
Γεράσιμον πλέξαντα τάδε σοι μέλη.

